**Νεομάρτυς Ιωάννης εκ Καστορίας καί οἱ σύν αὐτῶ. 27-4-1696.**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἐνδόξου Νεομάρτυρος Ἰωάννου τοῦ Καστοριέως.



**Ὁ** ἔνδοξος Νεομάρτυς Ἰωάννης ἢ Νοῦλτσος, ὁ Καστοριεὺς παῤῥησίᾳ ὁμολογῶν τὸ ὑπὲρ πᾶν ὄνομα τοῦ Σωτῆρος Χριστοῦ ἐνώπιον τῶν ἀπίστων ἐκγόνων τῆς Ἄγαρ δεινῶς ἀπηωρήθη τῇ ΚΖ΄ Ἀπριλίου τοῦ σωτηρίου ἔτους 1696 ἐν τῇ μεγάλῃ λεύκῃ τῆς ἀγορᾶς τῆς πόλεως ὁμοῦ μετὰ τοῦ ἀδελφοῦ καὶ γαμβροῦ αὐτοῦ. Τὸ τίμιον αὐτοῦ λείψανον ἐχαριτώθη θεόθεν διὰ θαυμαστῶν σημείων, ἃ καὶ ἐνέπλησαν χαρᾶς τὸν δῆμον τῶν Καστοριέων Χριστωνύμων καὶ κατέστησαν αὐτὸν πρότυπον πολλῶν πρὸς μίμησιν τῆς αὐτοῦ πίστεως καὶ τοῦ ἀνδρείου φρονήματος.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.